# VI.

# Der Kalender des Clodius Tuscus

(Vers 3414—3750).

---

## *Περὶ τῶν γινομένων καθ' ἑκάστην ἡμέραν ἐν τῷ πόλῳ.*

### *Ἰανουαρίου.*

*Ἀρχὴν δὲ πάλιν λάβωμεν ἀστέρων τε καὶ ζῳδίων*
*ἀνατολάς τε καὶ δυσμὰς καὶ ὕψη τοῦ Ἡλίου,*
*ἑκάστου νυχθημέρου δὴ πανδαμάτορος ὅλου.*
*ἐν γὰρ τῇ πρώτῃ τοῦ μηνὸς, τοῦ τῶν Καλάνδων λέγω,*
*ὑψοῦται μὲν ὁ Ἥλιος, Ἀετὸς σὺν Στεφάνῳ*
*βορείῳ δύνειν ἄρχεται, τῆς δὲ δευτέρας πάλιν*
*δύνει τὸ μέσον Ἀετοῦ, οἱ ἄνεμοι δ' ἀλλάσσουν·*
*τῇ δὲ τριτάτῃ δύεται Ἀετὸς πτηνὸς ὄρνις*
*καὶ ἡ τροπὴ προσγίνεται τοῦ ἀέρος ποικίλη.*
*τῇ δὲ τετάρτῃ ὁ Δελφὶν ὄρθριος σὺν Κυνί τε*
*ἀνίσχει, νότος καὶ πολὺς ἀναφυσᾷ τῇ γαίᾳ,*
*καὶ τῇ πεμπταίᾳ Λύρα τε· Ὄρνις δὲ πάλιν δύνει*
*καὶ ἐπιτέλλων ὁ Δελφὶν χειμῶνα προμηνύει.*
*τῇ ἕκτῃ δύνει Ἀετὸς, Δίδυμοι δ' ἀνατέλλουν,*
*καὶ τῇ ἑβδόμῃ τοῦ μηνὸς ἡ Λύρα ἐπιτέλλει,*
*καὶ τῇ ὀγδόῃ ὁ Δελφὶν ἑσπέριος προσδύνει,*
*ἑσπέριος καὶ προσφυσᾷ νότος σὺν ἀπαρκτίᾳ,*
*ἐξ οὗ καὶ νότος ζέφυρος ἅμα βροχῇ ἑσπέρᾳ*
*καὶ τῇ ἐννάτῃ τὸ αὐτὸ, πρὸς δὲ καὶ τῇ δεκάτῃ·*
*τῇ ἑνδεκάτῃ ταραχὴ τοῦ ἀέρος ὑπάρχει·*
*τῇ δωδεκάτῃ Λύρα δὲ ὡς ἑσπερία δύνει·*
*τρισκαιδεκάτῃ ὁ Οἰστὸς, ἐν τῇ νυκτὶ βροχή τε,*
*μετὰ δὲ ταύτην ἄστρον τε κρυπτὸν προσανατέλλει,*
*ἀνέμων καὶ τῶν ὑετῶν ποιητικὸν ποικίλων.*

---

B: 3414—3750 B IX; nach *πόλω* hat B *μηνῶν* || 14 *ζώδων* || 16 *πανδαμάτ . ρ . . ὅλον* || 19 *ἄρχηται* | *τοῦ δὲ δευτέρου* || 20 *ἀετοῦ* B (*καρκίνου* Clod.) || 21 *ἀετὸς,* B (*καρκίνου* Clod.) || 23 *συγκινεῖται* B (*ἅμα τῷ κυνί* Clod.) || 35 *ὁ ἱστός* ||

---

3414—3750 nach dem Kalender des Clodius Tuscus, im Lyd. 117—157; die Abweichungen siehe Stud. 34 | 3425 *λύρα,* ergänze *ἀνίσχει* (Clod.), vgl. aber 3434.

ἐν δὲ πεντάδι τῇ τριπλῇ   Αἰγόκερος προσλήγει
καὶ μετ᾽ αὐτὴν ὁ Ἥλιος   εἰς Ὑδροχὸν ἐμβαίνει,
τῇ δ᾽ ἄλλῃ πάλιν Λύρα τε   δύνει περὶ τὸν ὄρθρον,
περὶ δ᾽ ἐννάδι τῇ διπλῇ   ὁ Λέων ἐπιδύνει,
σὺν τούτῳ δὲ καὶ ὁ Δελφίν·   τῇ ἐννεακαιδεκάτῃ
καὶ Ὑδροχόος ἄρχεται   ἀνίσχειν, πνεῖ βορρᾶς δέ,
ἐν εἰκοστῇ τῇ πρώτῃ τε   ὁ Ὑδροχὸς ἀνίσχει,
τῇ δὲ δευτέρᾳ Λύρα τε   σὺν τῷ Καρκίνῳ δύνει
καὶ πρὸς ἑσπέραν ἡ βροχὴ   τῇ χθονὶ παρεμπίπτει,
τῇ δὲ τριτάτῃ ὅμοια   <ὡς> τῆς δευτέρας πέλει,
τῆς δὲ τετάρτης εἰκοστῆς   ἴσα ὡς τῆς τριτάτης,
τῇ δὲ πεμπταίᾳ εἰκοστῇ   ἄρχεται Λύρα δύνει,
τῇ ἕκτῃ τε καὶ εἰκοστῇ   ἑσπέρᾳ δύνει Λύρα
καὶ Βασιλίσκος ὁ λαμπρὸς   ἐν Λέοντος τῷ στήθει,
τῇ δ᾽ ἑβδόμῃ ὀγδόῃ τε   ἄνεμοι καὶ χειμῶνες,
καὶ τῇ ἐννάτῃ τῆς διπλῆς   δεκάδος Δελφὶν δύνει,
τῇ τριακάδι Λύρα τε   μοῖραν νυκτὸς τὴν πρώτην
καὶ συννεφία γίνεται   βορρᾶς τε καὶ βροχή τε,
τῇ πρώτῃ δὲ τριακοστῇ   ἄνεμοι χιονώδεις.

## *Περὶ τὸν Φεβρουάριον.*

Περὶ τὸν Φεβρουάριον   ἄστρον κρυπτὸν ἀνίσχει
καὶ τῇ δευτέρᾳ τὸ αὐτὸ   καὶ ζέφυρος προσπνέει,
τῇ τρίτῃ μέσον Λέοντος   δύνει σὺν τῇ Λυρίτζῃ,
τετάρτῃ δύνει ὁ Δελφίν,   ἐν ἑσπέρᾳ καὶ νότος.
τῇ πέμπτῃ μέσα Ὑδροχοῦ   ἀνίσχουσιν ἐν πόλῳ,
τῇ ἕκτῃ Λύρα δύεται   καὶ πρὸς ἑβδόμην τούτου,
καὶ τῇ ὀγδόῃ ζέφυρος   ἢ βορρᾶς ἐπιπνέει,
ἐννάτῃ δὲ Ὑδροχοὸς,   καὶ κρυπτὸν ἄστρον φαίνει.
καὶ τῇ δεκάτῃ τὸ αὐτὸ,   ἄνεμοι δ᾽ ἀπαρκτίαι,
τῇ δ᾽ ἑνδεκάτῃ τοῦ μηνὸς   Ἀρκτοῦρος προσανίσχων
ἐναλλαγμὰς ἀποτελεῖ   τὰς τῶν ἀνέμων οὗτος,
τῇ δωδεκάτῃ ὅμοια   καὶ τῇ τρισκαιδεκάτῃ
Τοξότης ὁ ἑσπέριος   δύνει τε καὶ χειμάζει·
τεσσαρεσκαιδεκάτῃ τε   ὁ Κρατὴρ προσανίσχει
τῇ πεντεκαιδεκάτῃ τε   ὁ Ἥλιος Ἰχθύσι
καὶ τῇ ἑξκαιδεκάτῃ δὲ   ἀπαρκτίας ἐκ τούτου,
πρὸς δὲ τὰς ἑπτακαίδεκα   Παρθένος μὲν εἰσδύνει,
εἰς δὲ τὰς ὀκτωκαίδεκα   ὁ Οἰστὸς ἐπιδύνει·

---

B: 3444 *ὑδροχόος*; vgl. 2505 u. Stud. 39 || 47 <*ὡς*> ergänzt, vgl. 3519 || 49 *δύνει* (so) || 52 *δὲ* || 59 *λυρίτῃ*, vgl. 3540 || 61 *ὑδροχόου*, vgl. 3329 a V und 3444 B || 64 *ὑδροχοὸς* (so) || 66 *ἐνκάτῃ* | *προανίσχων* || 72 *ἐκ τούτου* B (Clod. falsch *νότου*) || 74 *ὁ ἰστὸς* ||

---

3438 Clod. *Λέων* am 14. Jan. || 3451 *Βασιλίσκος* (Regulus), vgl. 679 und Boll 410 f. ||

*καὶ εἰς τὰς ἐννεακαίδεκα   πάλιν ὁ ἀπαρκτίας,*
*ὁ δὲ βορρᾶς μετὰ βροχῆς,   ἄνεμοι χελιδόνες,*
*καὶ Λέων ἐπιδύνει τε   τοῦ μηνὸς εἰκοσάδας.*
*πρὸς δὲ τὴν πρώτην εἰκοστὴν   Ἀρκτοῦρος ὀψὲ δύνει,*
*τῇ δὲ δευτέρᾳ τὰ αὐτά,   ἀλλὰ καὶ πρὸς τὴν τρίτην*
*Ὑδροχόος ἀνίσχει τε   καὶ χειμὼν προσεμπίπτει·*
*τὴν δὲ τετάρτην εἰκοστὴν   ἀργέστης καὶ βορέας,*
*εἰς δὲ πενθέκτην εἰκοστὴν   αὐγερινὸς Ἀρκτοῦρος·*
*ἑβδόμην καὶ ὀγδόην τε   αὖθις τῆς εἰκοσάδος*
*Οἰστὸς μὲν οὖν προσδύεται   ἐξ ἠρινῆς τροπῆς τε.*

## *Περὶ τὸν Μάρτιον.*

*Μαρτίου δὲ πρῶτον τὸ αὐτὸ   νότος καὶ λὶψ προσπνέει,*
*Προτρύγης δὲ δευτέρας τε   τῷ πόλῳ προσανίσχει,*
*τρίτῃ τετάρτῃ πέμπτῃ τε,   ἀλλά γε καὶ τῇ ἕκτῃ*
*Ἀρκτοῦρος προσφερόμενος   ἡμερινὸς ἀνίσχει*
*καὶ τῇ ἑβδόμῃ δύεται   Ἵππος ἀπὸ πρωΐας,*
*ὀγδόῃ δὲ τὰ Ὄρνεα   φαίνονται, Ὑδροχόος,*
*τῇ δὲ ἐννάτῃ Ἴκτινος   ἄρχεται προσανίσχειν.*
*ὁ δὲ Ἰχθὺς μὲν ὄρθριος   κρύπτεται πρὸς τὴν δύσιν,*
*τῇ δὲ δεκάτῃ ὄρθριος   ὁ Ἵππος ἐπιδύνει*
*καὶ Ἴκτινος ἀφ' ὑψηλοῦ   χθαμαλώτερος ἔστιν.*
*Ἀρκτοῦρος προσανίσχει δέ,   Προτρυγητὴς δὲ δύνει,*
*τῇ δ' ἑνδεκάτῃ χωρισμὸν   τοῦ χειμῶνος κλητέον,*
*τὴν δωδεκάτην παύεται   ὁ Ἰχθὺς ἐκ τοῦ νότου,*
*τρισκαιδεκάτῃ δ' Ἀργὼ ἐξ   ἑσπέρας προσανίσχει,*
*τεσσαρεσκαιδεκάτῃ τε   βορρᾶς ὅλην φυσήσει,*
*τῇ πεντεκαιδεκάτῃ δὲ   ὁ Ἵππος δύνει τότε,*
*τῇ ἕκτῃ καὶ δεκάτῃ δέ,   εἰ τύχῃ, καὶ ψεκάζει,*
*τῇ ἑπτακαιδεκάτῃ δὲ   τῷ Κριῷ Σελασφόρος.*
*εἰς ὀκτωκαιδεκάτῃ τε   καὶ ἐννεακαιδεκάτῃ*
*Ἴκτινος ἐπιφαίνεται   μέχρι ἰσημερίας,*
*τὴν δ' εἰκοσάδα εὔδιον   τὸ κατάστημα ὅλον,*
*περὶ τὴν πρώτην ταύτης δὲ   Ἵππος ἕωθεν δύνει,*
*καὶ τὴν δευτέραν ὁ Κριὸς   ἀνίσχει τε, καὶ βρέχει,*
*ὁμοῖα ἡ τριτάτη τε   τῆς δευτέρας προσφέρει,*
*τετάρτῃ εἰκοσάδα τε   ἦρος ἰσημερία·*
*τὴν μετ' αὐτὴν Ἰχθύες τε   ἀνίσχουσιν ἐκ νότου,*

---

B: 3476 *χελιδόνες* B (*χελιδόνιοι* Clod.) || 77 *εἰκοσάδας* vgl. 3509 || 81 *ἀργέτης* vgl. 353, 364, 376, 4111 || 82 *πέντ' ἕκτην* || 86 *προτρύγης* (so; *τρυγητὴς* Clod.) | *δὲ*] *τε* B || 91 *ἴκτινος* (so) (*ἰκτῖνος* Clod.) | *προανίσχειν* || 92 u. f. *ὄρθιος* || 94 *ἴκτινος ἐφ'* | *χθαμαλώτερον* || 95 *προτρυγητὴς* (so); vgl. Stud. 34 || 97 *ἰσχύς* || 98 *Ἀργὼ* Clod.] *αὖ ἡ* B | *προανίσχει* || 3505 *εἰκοσάδ'* ||

---

3482 *αὐγερινὸς* B: *ἑσπέριος* Clod. am 24. Febr. || 3490 *Ἰχθύων* Clod. || 3494 Clod. *ἀφ' ὑψηλῶν ἐπὶ τὰ χθαμαλὰ καθίπταται.* ||

καὶ τὴν ἑβδόμην εἰκοστὴν ἦρος ἰσημερία,
καὶ τὴν ὀγδόην τῆς αὐτῆς νύκτα τε καὶ ἡμέραν
ἴσην, καὶ τὴν ἐννάτην δὲ ὁ Κριὸς πρὸς δυσμάς τε,
τὴν τριακοστὴν ὁμοίως τε καὶ δεινὸς ἀπαρκτίας,
τὴν πρώτην δὲ τριακοστὴν ταραχὴ τοῦ ἀέρος.

## Περὶ τὸν Ἀπρίλιον.

Τὸν δέ γε αὖ Ἀπρίλιον πρωτίστην τὴν ἡμέραν
ὁ Κριὸς ἐπιδύεται, Φωσφόρος πρὸς τὴν Μήνην.
καὶ συννεφία γίνεται ἐκ βορρᾶ πνοῆς ἴσης,
καὶ τὴν δευτέραν ἕπεται ὁμοῖα ὡς τῇ πρώτῃ,
τὴν δὲ τριτάτην τὸ βραδὺ δύνουσιν αἱ Πλειάδαι
καὶ τὴν τετράδην τὸ αὐτὸ, καὶ λὶψ προσεπιπνέει,
τῇ πέμπτῃ προσανίσχουσιν Ὑάδες, καὶ βροχή τε,
καὶ τὴν ἑβδόμην ἅπασαν τὴν ἡμέραν τὸ μῆκος
νότος φυσᾷ, καὶ τὸ λοιπὸν τῶν Πλειάδων ἀνίσχει,
καὶ τὴν ὀγδόην ζέφυρος ὄρθρου ἄρχεται πνέειν,
καὶ τὴν ἐννάτην ζάλη γὰρ ἀπὸ τοῦ νότου πνέει,
τὴν δὲ δεκάτην ὁ βορρᾶς πᾶσαν πνεῖ τὴν ἡμέραν,
τὴν ἑνδεκάτην ψύχρωσις ἀνέμου, καὶ βροχίζεις,
τὴν δὲ τρισκαιδεκάτην πνεῖ βορρᾶς ἐκ τῶν Ὑάδων,
τεσσαρεσκαιδεκάτῃ τε αὖθις ἄστρον προσδύνει,
τῇ πεντεκαιδεκάτῃ τε Ὑάδων δύσις πέλει,
τὴν ἓξ δὲ καὶ δεκάτην τε πάλιν αὐτὸ σημαίνει,
πλὴν εἰς τὰς ἑπτακαίδεκα Ἥλιος ἐν τῷ Ταύρῳ,
ὀγδόην καὶ δεκάτην τε ὁ λὶψ προσεπιπνέει·
πρὸς δὲ τὰς ἐννεακαίδεκα Ὑάδες μέσαι δύνουν,
τὴν εἰκοστὴν δὲ τοῦ μηνὸς ζέφυρος σὺν βορρᾷ τε,
πρὸς δὲ τὴν πρώτην εἰκοστὴν κάρα τοῦ Ταύρου δύνει,
τὴν δὲ δευτέραν τῆς αὐτῆς ἀνίσχουσι Πλειάδαι,
ἡ Λύρα τὴν τριτάτην τε φυλακῇ νυκτὸς πρώτῃ,
τὴν εἰκοστὴν τετάρτην δὲ φαίνεται ἡ Λυρίτζα,
τὴν πέμπτην δ' ὁ Σκορπίος τε δύνει τε καὶ ὁ Κύων
καθολικῶς προσδύνει, πνεῖ καὶ τὴν ἑβδόμην νότος
ὀγδόην τὴν ἐννάτην τε ἐν ταύταις ταῖς ἡμέραις·
ἡ μὲν ὑπάρχει βροχερὴ ἡμέρα δηλονότι,
τῇ δ' ἐν ἑσπέρᾳ κρύπτεται ὁ Κύων δηλονότι
καὶ οὕτω καὶ τριακοστὴν περὶ Κυνὸς τὴν κρύψιν.

---

B: 16 *πρίλλιον* || 17 *μήνην* (so) (Clod. *μίαν προστίθησι μοῖραν*) || 19 *ὁμοίαν* || 20 *πλειάδαι* (so) || 22 *βροτή* (*βροχαί* Clod.) || 25 *ὄρθρον* || 28 *βροχίτζας* vgl. 3664 || 30 *τεσσάρις και δεκάτη*, wie 593, 990, 1113 || 31 *δύσει* || 32 so! || 35 *μεσ. δυν.* (?) || 37 am Rand *σκορπείου παρθένου μ.* (Zeichen?); im Text *του μ . . ?* (*ταύρου* Clod.) || 39 *α'*, drüber *η* (= *πρώτη*) || Nach 3541 fehlt wohl ein Vers || 42 *νότος* mit Clod.] *οὗτος* B || 45 *τῇ* Clod.] *ἡ* B ||

---

3513 und 3517 *σκορπίος* Clod. || 3525 *ζέφυρος*: Clod. hat *ζυγός*, Columella: libra ||

### Μηνὶ Μαΐῳ.

Μάϊος δὲ τὴν πρώτιστον   ἐκ Κυνὸς δρόσον φέρει,
τὴν δὲ δευτέραν ἡ Ὑὰς   Ἡλίῳ συνοδεύει,
τὴν δὲ τριτάτην Κένταυρος   ὅλος φαίνεται ἄνω
καὶ ζέφυρος, ὡς λέγουσι,   τούτῳ προσεπιπνέει,
τὴν δὲ τετάρτην Σκορπιὸς   ἑωθινὸς ἀνίσχει,
τὴν πέμπτην Λύρα πάλιν δὲ   οὕτως προσανατέλλει,
τὴν ἕκτην τὸ μεσαίτατον   τοῦ Ταύρου παραδύνει,
ἑβδόμην δὲ ἀνίσχουσιν   ἑωθιναὶ Πλειάδαι,
καὶ τὴν ὀγδόην κατ' ἀρχὰς   προοίμιον τοῦ θέρους·
ὅμοια τὴν ἐννάτην τε   καὶ τὴν δεκάτην πάλιν
ἡ Λύρα προσανίσχουσα,   ἡ Ὑὰς δ' ἐπιδύνει·
ἡ κεφαλὴ δὲ τοῦ Κριοῦ   ἀναφαίνεται τότε,
τὴν ἑνδεκάτην ἡ Πλειὰς   ἀναφαίνεται πάλιν,
ἀνίσχει δωδεκάτην τε   καὶ νότος ἐπιπνέει,
τρισκαιδεκάτην δύονται   Ὑάδες τε, καὶ νότος,
τεσσαρεσκαιδεκάτην τε   ὁ Κριὸς ἐπιδύνει,
ἡ δὲ Λυρίτζα ἕωθεν   πάλιν προσεπανίσχει,
τὴν μετ' αὐτὴν Καρκίνος τε   ἀνίσχει καὶ πνεῖ νότος,
ἡ <δὲ> ἑξκαιδεκάτη τε   ἀρχὴ τοῦ θέρους πέλει,
πρὸς δὲ τὰς ἑπτακαίδεκα   ὁ Κύων ἐπιδύνει,
τὴν μετ' αὐτὴν ὁ Ἥλιος   ἐν Διδύμοις ὑπάρχει,
τὴν δὲ ἐννάδα τὴν διπλὴν   νότος φυσᾷ τὴν νύκταν,
τὴν δ' εἰκοστὴν ἀνίσχουσιν   Ὑάδες, πνεῖ βορέας,
τὴν πρώτην δὲ τῆς εἰκοστῆς   Ἀρκτοῦρος ἐπιδύνει,
τούτου τὸ ἀποτέλεσμα   ταραχὴ τοῦ ἀέρος,
πρὸς δὲ δευτέραν εἰκοστὴν   κρύπτεται ὁ Τοξότης
καὶ Δίδυμοι ἀνίσχουσι   πρὸς τὴν τριτάτην ταύτης·
τὴν δωδεκάτην τὴν διπλὴν   φαίνονται μὲν Ὑάδες,
τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ τε   τῆς εἰκοστῆς ὁμοίως,
ἑβδόμην τὴν ὀγδόην τε,   ἀλλὰ καὶ τὴν ἐννάτην
ἡ Λύρα ἐπανίσχουσα   τὸν νότον ἐπιπνέει,
τριακοστὴν ἀνίσχουσι   Πλειάδες, καὶ βροντή τε,
καὶ μετ' αὐτὴν γὰρ γίνεται   καὶ ταραχὴ ἀέρος.

### Μὴν Ἰούνιος.

Ἰούνιος τὴν πρώτην μὲν   Ὑάδων φαντασίαν·
τὴν δὲ δευτέραν Ἀετὸς   ἀνίσχει τε καὶ βρέχει,
τὴν τρίτην αὖθις αἱ βρονταὶ   πρὸς νότιον τὸ μέρος,

---

B: Am Rand bei 3547 σημείωσαι || 51 σκορπιδς (so) || 58 und 59 ἀναφέρεται, drüber ν (ἀναφαίνεται Clod.) || 67 und 68 eine Irrung des Kam. in den Ziffern ||

---

3553 σκορπίου Clod. || 58 ταύρου Clod. || 61 ἀνίσχουσι Clod. || 62 σκορπίος Clod. ||

ὡσαύτως παρακολουθεῖ   πολλάκις ἡ τετάρτη.
τὴν πέμπτην δὲ ὁ Ἀετὸς   ἀνίσχει καὶ πνεῖ νότος,
τὴν ἕκτην ἄνεμος βορρᾶς,   ἐξ αὐτῆς δ' ἴσως ὕει·
τὴν γὰρ ἑβδόμην ὦμός τε   Ὠρίωνος ἀνίσχει,
καὶ τὴν ὀγδόην ὄρθριος   Ἀρκτοῦρος ἐπιδύει
Δελφὶν περὶ ἐννάτην τε   ἄρχεται προσανίσχειν,
τὴν δὲ δεκάτην ἐξ αὐτῆς   πολλάκις ἐπιβρέχει.
ὁμοίως ἑνδεκάτην τε,   πρὸς δὲ καὶ δωδεκάτην,
μέχρι διπλῆς ἑπτάδος τε   ἄνεμοι ἐκ Δελφῖνος,
τὴν πεντεκαιδεκάτην τε   ἀνίσχουσι συντόμως
οἱ ὦμοι τοῦ Ὠρίωνος,   προοίμια καυμάτων,
τὴν ἕκτην καὶ δεκάτην τε,   πρὸς δὲ καὶ τὴν ἑβδόμην
ἄστρον κρυπτὸν προσφέρεται,   καὶ Ἥλιος Καρκίνου
καὶ ταύτην ἕως εἰκοστῆς   νόει καλῶς, ἃ λέγω·
τὴν πρώτην δὲ τῆς εἰκοστῆς   Ὀφιοῦχος ἀνίσχει
καὶ νότος ἅμα καὶ βρονταὶ   πρὸς τὴν δευτέραν ταύτης,
ἐπιτολὴν Ὠρίωνος   πρὸς εἰκοστὴν τὴν τρίτην,
πρὸς δὲ καὶ τέταρτον κρυπτὸν   Ὕδρου ἄστρον ἀνίσχει,
τὴν πέμπτην δὲ τῆς εἰκοστῆς   ἀρχὴ τροπῶν τοῦ θέρους,
πρὸς δὲ τὴν ἕκτην εἰκοστὴν,   ἀλλὰ καὶ τὴν ἑβδόμην
βραχεῖα νὺξ ἤγουν μικρὰ,   Ὠρίων ἐπανίσχει,
τὰς δὲ λοιπὰς μὲν τοῦ μηνὸς   μέχρι ζώνης Ὠρίων.

## Μηνὶ Ἰουλίῳ.

Τοῦ Ἰουλίου τὴν πρώτην τε   μέχρι καὶ τῆς τετάρτης
Ὠρίων ἀνίσχει καὶ κρυπτὸν   ἄστρον σὺν τῷ Στεφάνῳ,
τὴν πέμπτην τὸ μεσαίτατον   ἀνίσχει τοῦ Καρκίνου,
τὴν ἕκτην νότος καὶ βορρᾶς   κατέναντι προσπνέουν,
καὶ τὴν ἑβδόμην Στέφανος   πρὸς ὄρθρον ἐπιδύνει,
τὴν δὲ ὀγδόην ὁ Κηφεὺς,   ἀλλὰ καὶ τὴν ἐννάτην
ὁλόκληρος Ὠρίων τε,   πρὸς δὲ καὶ τὴν δεκάτην
μέχρι τρισκαιδεκάτης τε   οὗτος προσεπανίσχει,
τεσσαρεσκαιδεκάτῃ τε   ἀνίσχει ὁ Προκύων,
ὡσαύτως καὶ τὴν μετ' αὐτὴν   καὶ τὴν ἑξκαιδεκάτην
Ὠρίων ἀνίσχει καὶ βορρᾶς   σφοδρῶς τε ἐπιπνέει,
τὴν μετ' αὐτὴν ὁ Ἥλιος   τῷ Λέοντι προστρέχει,
ὀγδόην καὶ δεκάτην τε   ζέφυρος καὶ ὁ νότος,
τὴν μετ' αὐτὴν ὁλόκληρος   Ὠρίων ἐξανίσχει,
καὶ μέχρι καὶ τῆς εἰκοστῆς   δευτέρας τόδε πέλει,
ὁ Κύων τὴν τριτάτην τε   ἀνίσχει τε, καὶ καῦμα,

---

B: 3586 ὅμως ‖ 93 τοῦ mit Clod.] τῶν B | καυμάτων mit Clod.] πραγμάτων B ‖ 95 ἡλίου ‖ 3600 Ὕδρου (?)] ἰδοὺ ‖ 05 τὴν] τε und ein durchstrichenes καὶ ‖ 18 ὁλόκληρον ‖

---

3584 fast wörtlich Clod. ‖ 97 δύεται Clod. ‖

πρὸς δὲ τετάρτην εἰκοστὴν   ὁ Λέων σὺν Ἡλίῳ
ἀνίσχει μετὰ τοῦ Κυνός,   ὁ δὲ Καρκίνος λήγει,
τὴν μετ' αὐτὴν ὁ Ὑδροχὸς   ἄρχεται πρὸς τὸ δύνειν,
πρὸς εἰκοστὴν τὴν ἕκτην δὲ   Ἀετὸς ἐπιδύνει.
μέχρι καὶ τῆς τριακοστῆς,   ἀλλὰ καὶ ταύτης πρώτης
τὰ καύματα πεφύκασιν   ἐκ τοῦ Κυνὸς βαρέα.

## Αὐγούστου.

Αὐγούστου δὲ τὴν πρώτιστον   Ἰκτῖνος ὄρθρου δύνει,
τὴν μετ' αὐτὴν καὶ τρίτην τε   τὰ ὅμοια σημαίνει,
τετάρτην τε τοῦ Λέοντος   τὸ μέσον ἐξανίσχει
καὶ δένδρον δὲ προσφαίνεται,   Φωσφόρος κρατεῖ μοῖραν,
τὴν πέμπτην δύνει Στέφανος,   μέσα προσφέρει Λέων,
φαίνονται δὲ καὶ γέρανοι   καὶ νότος ἐπιπνέει,
τὴν ἕκτην Λύρα κρύπτεται   καὶ καῦσις ἐκ τοῦ νότου,
ἑβδόμην Ὑδροχόου τε   τὸ μέσον ἐπιδύνει,
τὴν δὲ ὀγδόην καῦμα τε,   καὶ ἄστρον τὴν ἐννάτην
κρυπτὸν ἀνίσχει, καῦμα δὲ   καὶ μέτριον τόδε πέλει·
τὴν δὲ δεκάτην καύματα   διάφορα προσδόκα,
τὴν ἑνδεκάτην Λύρα τε   ὄρθριος ἐπιδύνει,
τὴν δωδεκάτην ὅμοια,   τὴν δὲ τρισκαιδεκάτην
μέχρι διπλῆς, νόει καλῶς,   ὁ Δελφὶν καὶ Λαγῶος
ἅμα πρὸς ὄρθρον δύνουσι   καὶ λάμπει κρυπτὸν ἄστρον,
τὴν ἑπτακαιδεκάτην τε   ὁ Ἥλιος Παρθένῳ,
ἐν ᾗ καὶ λέγεται τροπή,   ἀρχὴ τοῦ φθινοπώρου,
τὴν μετ' αὐτὴν ἡ Λύρα δὲ   σὺν τῷ Δελφῖνι δύνει,
καὶ μέχρις πέμπτης εἰκοστῆς   ἀνίσχει ἡ Παρθένος,
τὴν ἕκτην δὲ τῆς εἰκοστῆς   ὄρθρῳ Δελφὶν ἀνίσχει
καὶ τὴν ἑβδόμην τῆς αὐτῆς   Προτρυγητὴς ἀνίσχει,
τὴν εἰκοστὴν ὀγδόην τε   φαίνεται ἡ Παρθένος,
ἐν δὲ τῷ τέλει τοῦ μηνὸς   ἀνίσχει Ἀνδρομέδα.

## Σεπτεβρίου.

Ἄνεμοι δ' ἐναλλάσσονται   πρὸς πρώτην Σεπτεβρίου,
τὴν δὲ δευτέραν ὁ Ἰχθὺς   ἀπὸ τοῦ νότου παύει,
τὴν δὲ τριτάτην τὸ αὐτὸ   ἴσως ἐκ νότου βρέχει,
Ἀρκτοῦρος τὴν τετάρτην τε   καὶ Τρυγητὴς ἀνίσχει,
καὶ ἀποκρύπτει τὸν Οἰστὸν   μέχρι καὶ τῆς ἑξάδος.
καὶ τὴν ἑβδόμην τὸ βραδὺ   ἡ Αἴξ προσεπανίσχει,
Ἀρκτοῦρός γε μὴν φαίνεται   οὕτως πρὸς τὴν ὀγδόην·

---

B: 3621 vor *Λέων*: ☋ || 26 *βορρέα* (*βαρὺς* Clod. 141, 8) || 27 *αὐγούστου* hier und am Rand unleserlich | *ἰκτιωνος* || 30 *κρατ.. μοιρα* (?) vgl. 3517 || 31 *Λέων* gekürzt || 47 *προτρυγητοῦ* B (ergänze *ἀστὴρ* ?, Clod. *τρυγητής*) || Vor 50 *σεπτρίου* am Rand || 52 *τω αὐτω* || 53 *τρυγητὸς* (so) || 54 *ἰστὸν* || 56 *οὗτος* ||

---

**3622 ganz wörtlich Clod. 140, 17.**

ἀπὸ δ᾽ ἐννάτης λέγω δὴ   ἕως τρισκαιδεκάτης
Ἀρκτοῦρος καὶ Παρθένος τε   ἀνίσχουσιν ὁμοίως
τεσσαρεσκαιδεκάτῃ τε   Ἵππος Πλειάς <τ'> ἀνίσχει.
ταῦτα δὲ καὶ πρὸς ταῖς λοιπαῖς   ἄλλαις δυσὶν ἡμέραις,
τὴν ἑπτακαιδεκάτην τε Ζυγοῦ Φωσφόρος λήγει,
τὴν μετ᾽ αὐτὴν ὁ νότιος   Ἰχθὺς ὅλος ἀνίσχει,
καὶ ἐπιφαίνεται Κρατὴρ   τὴν ἐννεακαιδεκάτην,
τὴν εἰκοστὴν ἐπιτολὴν   Ἀρκτούρου, καὶ βροχίζα,
τὴν πρώτην τε τῆς εἰκοστῆς   ἰσημερία τότε
καὶ τὴν δευτέραν ἡ Ἀργὼ   δύνει, καὶ τὴν τριτάτην
Ἰχθύες ἐπιδύονται,   καὶ ὑετὸς ἐκ νότου·
τὴν εἰκοστὴν τετάρτην τε   Κένταυρος ἐπιτέλλει,
ὁμοίως καὶ τὴν μετ᾽ αὐτὴν   Κένταυρος ἐπιτέλλει,
οἱ Ἔριφοι δ᾽ ἀνίσχουσι   τῆς εἰκοστῆς τὴν ἕκτην,
καὶ τὴν ἑβδόμην φαίνονται   Πλειάδες ἐν ἑσπέρᾳ,
καὶ τὴν ὀγδόην τὸ αὐτὸ,   καὶ τὴν ἐννάτην ταύτης
Πλειάδες ὄρθρου φαίνονται   καὶ νότος ἐπιπνέει,
ἡ Αἲξ δὲ τὴν τριακοστήν.

## Ὀκτωβρίου.

Ὀκτωβρίου δὲ πρώτην
Πλειάδες ἐξ ἀνατολῶν   φαίνονται πρὸς τὸν ὄρθρον
καὶ τὴν δευτέραν τὸ αὐτὸ,   ἀλλὰ καὶ πρὸς τὴν τρίτην
Ἡνίοχος δυόμενος,   πρὸς δὲ τετάρτην πάλιν
οἱ Ἔριφοι ἀνίσχουσι,   καὶ Στέφανος τὴν πέμπτην,
τὴν ἕκτην καὶ τὴν μετ᾽ αὐτὴν   δύνει Κριοῦ τὸ μέσον
καὶ τὴν ὀγδόην Στέφανος   ἀνίσχει σὺν Ἐρίφοις.
καὶ τὴν ἐννάτην Ἔριφοι   φαίνονται σὺν Πλειάδαις,
τὴν δὲ δεκάτην ὁ Ζυγὸς   ἄρχεται προσανίσχειν,
τὴν ἑνδεκάτην Στέφανος   ἀνίσχει πρὸς τὸν ὄρθρον,
τῇ δωδεκάτῃ τὸ αὐτὸ,   καὶ τὴν τρισκαιδεκάτην
ὁμοίως καὶ τὴν μετ᾽ αὐτὴν,   πρὸς δὲ τριπλὴν πεντάδα
τὸ μέσον φθινοπώρου τε,   καὶ νότος ἐπιπνέει,
τὴν ἑξκαιδεκαταίαν τε   Ὠρίων ἐπανίσχει
καὶ ὑετὸς παρέπεται   τὴν ἑπτακαιδεκάτην·
τὴν μετ᾽ αὐτὴν τὸν Ἥλιον   δέχεται ὁ Σκορπίος.
τὴν εἰκοστὴν Πλειάδες δὲ   δύνουσι καὶ τὴν πρώτην,
τὴν δὲ δευτέραν ἡ οὐρὰ   τοῦ Ταύρου δύνει ὅλη,
καὶ τὴν τριτάτην τὸ αὐτὸ,   πρὸς δέ γε τὴν τετάρτην
αἱ Πλειάδες προσδύνουσι,   πρὸς εἰκοστὴν ἑβδόμην
ὁ Ἀρκτοῦρος δὲ δυτικὸς,   τὴν εἰκοστὴν ὀγδόην
καὶ τὴν ἐννάτην τὸ αὐτὸ,   πρὸς δὲ τὴν τριακάδα
Ὠρίων ὅλος κρύπτεται   καὶ Λύρα προσανίσχει.

---

B: 3659 *τεσσαρασκαιδεκάτη* || 61 *ζυγὸς* || 70 *οἴριφοι δὲ* || 74 *ὀκτώβριος δὲ* || 78 *πέμπτην*] *πρώτην* B || 79 *κριὸς* || 81 *πλειάδες* || Vers 88 in B am Rand, der 18. Okt. fehlt ganz | *ιζ'* || 93 *κζ'* || 94 *ὁ ἀρκτικὸς* B wie 3701 ||

## Νοεμβρίου.

Τὴν πρώτην Νοεμβρίου δὲ   δύνουσιν αἱ Πλειάδαι,
Ἀρκτοῦρος τὴν δευτέραν τε, τροπὴ δὲ τοῦ ἀέρος,
τὴν τρίτην Λύρα ὄρθριος   ἀνίσχει, καὶ τετάρτην
πέμπτῃ τε Λύρα σύνεγγυς   Ἡλίῳ ἀνατέλλων,
ὁ Ἀρκτοῦρος δὲ ὄρθριος   τὴν ἕκτην ἐπιδύνει,
καὶ τὴν ἑβδόμην δύνουσι   Πλειάδαι καὶ Ὠρίων,
καὶ τὴν ὀγδόην τὸ αὐτὸ,   τὴν ἐννάτην Ἀντάρης
φαίνεται, καὶ χειμέριος   τροπὴ λέγεται εἶναι,
καὶ τὴν δεκάτην τὸ αὐτὸ,   τὴν ἑνδεκάτην πάλιν
αἱ Πλειάδες τε κρύπτονται,   πρὸς δὲ τὴν δωδεκάτην
τοῦ Ταύρου τὸ μεσαίτατον   ἀστρίτζιν ἐπανίσχει.
τρισκαιδεκάτην πάλιν δὲ   Πλειάδες καὶ Ὠρίων
πρὸς ὄρθρον ἐπιδύνουσι   καὶ πρὸς τετάρτην ταύτης,
τὴν πέμπτην καὶ δεκάτην τε   ἡ Λύρα προσανίσχει,
τὴν μετ᾽ αὐτὴν τὰ ὅμοια,   τὴν δ᾽ ἑπτακαιδεκάτην
τὸν Ἥλιον τὸ ζῴδιον   δέχεται τοῦ Τοξότου,
ὀγδόην καὶ δεκάτην τε   Τοξότης προσανίσχει
καὶ Λύρα σὺν Ὠρίωνι   καὶ ταραχὴ ἀέρος.
τὴν ἐννεακαιδεκάτην τε   τοῦ Ταύρου κέρας δύνει,
τὴν εἰκοστὴν ὁμοίως δὲ,   τὴν πρώτιστον δὲ ταύτης
Ὑάδες σὺν τῷ Λαγωῷ   δύνουσι πρὸς τὸν ὄρθρον,
καὶ τὴν δευτέραν τὸ αὐτὸ,   τὴν τρίτην τῶν Ὠρίων,
τετράδαν καὶ τὴν πέμπτην τε,   σὺν αὐταῖς καὶ τὴν ἕκτην
προοίμια χειμερινῆς   κατάρχονται τῆς ὥρας.
τὴν εἰκοστὴν ἑβδόμην τε   καὶ μέχρι τριακάδος
ὁ Κύων ὄρθρου δύνει δέ.

## Δεκεβρίου.

Τῇ πρώτῃ Δεκεβρίου
ὅλος Ὠρίων δυτικὸς,   σύγχυσις τοῦ ἀέρος,
τὴν δὲ δευτέραν Κύων δὲ   δύνει πρὸς τὴν ἑσπέραν,
καὶ τὴν τετράδαν δύεται   Τοξότης, καὶ τὴν πέμπτην
καὶ τὴν ἑβδόμην Ἀετὸς   ἀνίσχει, τὴν δ᾽ ὀγδόην
Τοξότης ὅλος ἀνίσχει,   καὶ Κύων ἐν ἑσπέρᾳ.
ταῦτα δὲ πάντα γίνονται   ἕως δεκάτης ἕκτης.
τὴν ἑπτακαιδεκάτην τε   τὸ ζῴδιον Αἰγοκέρου
προσδέχεται τὸν Ἥλιον   ἀπὸ τὴν πρώτην μοῖραν,
τὴν ἐννεακαιδεκάτην τε   πάλιν ἡ Αἲξ ἀνίσχει,
τὴν εἰκοστὴν δ᾽ ὁ Ἀετὸς   ἑσπέριος ἀνίσχει,
καὶ τὴν τριτάτην εἰκοστὴν   ἡ Αἲξ ὄρθριος δύνει.

B: 3701 Ἀρκτοῦρος Clod.] ἀρκτικὸς B || 23 ὅλως || Nach 3724 fehlt der 3. Dez. (χειμάζει σὺν ὑετῷ Clod.) || 29 ζώδον || 31 ἐνvακαιδεκάτην ||

3707 σκορπίου Clod. || 27 σκορπίος Clod., aber am 6. Dez. τοῦ τοξότου.

*τὴν ἕκτην αὖ ἑσπέριος, τὴν δ' εἰκοστὴν ἑβδόμην*
*Δελφὶν ἀνίσχει ὄρθριος, τὴν εἰκοστὴν δ' ὀγδόην*
*Ἥλιος ἀποστρέφεται καμπτῆρος τοῦ νοτίου,*
*ἀλλὰ καὶ τὴν τριακοστὴν καὶ τὴν τριάντα μίαν*
*προσεπανίσχει ὁ Δελφὶν καὶ Ἥλιος ὑψοῦται.*

*Ἰδοὺ τὸ τέλος ἔλαβον τὰ ἀναγεγραμμένα*
*τῶν ζῳδίων αἱ δυνάμεις τε· ἀλλὰ καὶ τῶν ἀστέρων*
*σχήματα τὰ πρὸς τρίγωνα καὶ τετραγωνισμένα,*
*ἑξάγωνα, διάμετρα, οἴκους καὶ βασιλείας,*
*ἀνατολὰς, ἐπιτολὰς, πρὸς δὲ καὶ ταπεινώσεις,*
*ὑψώματα καὶ στηριγμοὺς, προποδισμοὺς καὶ λόγους*
*καὶ δεκανοὺς τοὺς τῶν ζῳδίων εἴπομεν κατὰ μέρος*
*καὶ τἄλλα πάντα ἐν λεπτῷ ἡγησάμεθα λόγῳ*
*καὶ μέλλομεν προσλέξαι σοι πρὸς μάθησιν τὴν τούτων*
*ἐκ τῶν σχημάτων καὶ μοιρῶν τῶν πέντε πλανωμένων*
*ἀποτελέσεις ἅπασας ἀγαθὰς καὶ δεινάς τε*
*καὶ προσεκτέως ἄκουσον, τοῦ Βλάνα τὸ παιδίτζιν.*

---

B: 3740 u. 45 *ζωδίων* || 47 *τὴν*] *τῶν* || 49 *ἅπασας* so || 50 *βλάνα (?)*; vgl. Stud. 35; im B folgt *Περὶ τῆς τοῦ ἀστρολάβου θέσεως* (2153—85).

---

3739 ff. vgl. 1716 ff.